⟨τὸ⟩ συμπόσιον· διελέσθαι δὲ τὸν λόγον ἐ.... αὐτοῖς
ἐπιτρέπω.'

2. Μικρὰ μὲν οὖν ἠκκίσαντο παραιτούμενοι· κελευόν-
των δὲ πάντων πείθεσθαι τῷ ἄρχοντι καὶ ποιεῖν τὸ προσ-
C ταττόμενον, ἔφη πρότερος ὁ Κράτων, ὅτι δεῖ τὸν μὲν
φυλάκων ἄρχοντα φυλακικώτατον, ὥς φησιν ὁ Πλάτων
(Rep. 412c), εἶναι, τὸν δὲ συμποτῶν συμποτικώτατον.
'ἔστι δὲ τοιοῦτος, ἂν μήτε τῷ μεθύειν εὐάλωτος ᾖ μήτε
πρὸς τὸ πίνειν ἀπρόθυμος, ἀλλ' ὡς ὁ Κῦρος ἔλεγεν πρὸς
Λακεδαιμονίους γράφων, ὅτι τά τ' ἄλλα τοῦ ἀδελφοῦ
βασιλικώτερος εἴη καὶ φέροι καλῶς πολὺν ἄκρατον· ὅ τε
γὰρ παροινῶν ὑβριστὴς καὶ ἀσχήμων, ὅ τ' αὖ παντάπασι
νήφων ἀηδὴς καὶ παιδαγωγεῖν μᾶλλον ἢ ⟨συμ⟩ποσιαρχεῖν
ἐπιτήδειος. ὁ μὲν οὖν Περικλῆς, ὁσάκις ᾑρημένος
στρατηγὸς ἀναλαμβάνοι τὴν χλαμύδα, πρῶτον εἰώθει δια-
D λέγεσθαι πρὸς αὑτὸν ὥσπερ ὑπομιμνήσκων 'ὅρα, Περί-
κλεις· ἐλευθέρων ἄρχεις, Ἑλλήνων ἄρχεις, Ἀθηναίων
ἄρχεις'· ὁ δὲ συμποσίαρχος ἡμῶν ἐκεῖνος λεγέτω πρὸς
αὑτόν 'φίλων ἄρχεις', ἵνα μήτ' ἀσχημονεῖν ἐπιτρέπῃ
μήτε τὰς ἡδονὰς ἀφαιρῇ. δεῖ δὲ καὶ σπουδῆς τὸν
ἄρχοντα πινόντων οἰκεῖον εἶναι καὶ παιδιᾶς μὴ ἀλλότριον,
ἀλλ' εὖ πως συγκεκραμένον πρὸς ἀμφότερα, σμικρῷ δὲ
μᾶλλον, ὥσπερ οἶνον ἀστεῖον, ἀπονεύοντα τῇ φύσει πρὸς
τὸ αὐστηρόν· ὁ γὰρ οἶνος ἄξει τὸ ἦθος εἰς τὸ μέτριον
μαλακώτερον ποιῶν καὶ ἀνυγραίνων. ὥσπερ γὰρ ὁ Ξενο-
φῶν (Exped. II 6, 11) ἔλεγεν τοῦ Κλεάρχου τὸ σκυθρω-